**SESSION 2001**

# AGRÉGATION
# CONCOURS EXTERNE

## Section : LETTRES CLASSIQUES

## VERSION GRECQUE

Πῶς ἀδίκημα γίγνεται τὸ τοῖς πράττουσι κακῶς συνάχθεσθαι; Ἐγὼ μὲν γὰρ χρηστότητος εἶναι νομίζω τὸ μὴ μόνον ὑπὲρ τῶν οἰκείων ἀνιᾶσθαι κακῶν, ἀλλὰ κἂν τοῖς ἑτέρῳ συμβαίνουσι ταὐτὸ ποιεῖν. 48. Καὶ οἶδα πολλοὺς οὐ μόνον τοὺς καθ’ αὑτούς εἰ ἆτυχοῖεν ἐλεοῦντας, ἀλλὰ κἂν ταῖς τῶν τραγῳδιῶν ἀναγνώσεσι δάκρυα κατὰ τῶν βιβλίων ἀφιέντας. Πῶς οὖν οὐχὶ καὶ τούτους κακίζετε ; 49. Ῥᾴδιόν γέ τοι πρὸς αὐτοὺς λέγειν · “ τί δὲ ὑμῖν μέλει τῶν Νιόβης τέκνων, ἢ εἴ τις Κάδμου θυγάτηρ τὸν αὑτῆς ἀπέκτεινε ; Λάϊος δὲ ὑμῖν πατήρ; Οἰδίπους δὲ ἀδελφός; Ἑκάβη δὲ μήτηρ; Κρέων δὲ ὁ Κορίνθιος θεῖος; Γλαύκη δὲ ἀνεψιὰ »; Πρῴην Ἱππόλυτον τὸν Εὐριπίδου θρήνων οὐκ ἠξίωσα τοσούτων ὅσωνπερ ἄν εἰ παρῆν καὶ ἑώρων τὸ πάθος; Τί οὖν οὐκ ἐγκαλοῦμαι ταῖς πρὸ τῶν Τρωικῶν συμφοραῖς πληττόμενος; 50. Ὑμεῖς δέ, ὦ πρὸς Διός, νέων ἐκφερομένων καὶ πατέρων ἀκολουθούντων συνεκφέροντες οὐ θρηνεῖτε, καὶ ταῦτα οὐδεμιᾶς ἀναγκαζούσης συγγενείας ; Τοὺς ἐπιτιμῶντας οὖν εἰκότως ἂν ἔχοιτε. Καὶ μὴν ἐν εὐεργέταις οἷς ταῦτα εἰσενηνόχατε γονεῦσιν ἠρίθμησθε. 51. Εἰ δ’ οὐδὲν δεινὸν τὸν οὐ προσήκοντα ἀποθανόντα δακρύειν, πῶς δεινὸν τοὺς ζῶντας ἐν ὀδύναις, ὃ πολὺ τοῦ θανάτου πικρότερον; Εἰ δ’ ἄξιον ἀθυμεῖν κακῶς φερομένης πόλεως, διά τί μὴ καὶ ἔθνους ; Εἰ δὲ ἑνός, διὰ τί μὴ καὶ πλειόνων; 52. Ἀλλ’ ἐμοὶ μὲν τοὺς συναχθομένους εἰ καί πλεῖστον ἀπέχοιεν τῶν περὶ λόγους φιλῶ, τοὺς δ’ ἐν ἑτέροις ζῶντας εἰ μὴ τῶν αὐτῶν ἀξιοίην οὐκ ἀδικήσω ; Οὐκ ἐσμὲν Κύπριοι οὐδέ, σὺν Ἀδραστείᾳ δὲ εἰρήσεται, τῷ σεισμῷ κατενεχθεῖσαν ἐπείδομεν τὴν πόλιν, ἀλλ’ ὅμως οἰμωγαὶ καὶ ὀδυρμοί, καὶ « ὦ πόλεις, ποῦ ποτε ἄρ’ ἔστὲ; » πολλῶν ἦν ἀκούειν λεγόντων · καὶ οὐδεὶς ἐπέπληξεν εἰ τοσαύτῃ τῆς νήσου διειργόμενοι τῇ Θαλάσσῃ μετέχειν τῆς συμφορας ἐνομίζομεν.